Εἰρήνευσις

Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, τῷ βασιλεῖ τῶν αἰώνων καὶ δοτῆρι τῶν ἀγαθῶν, τῷ καθελόντι τὸ τῆς ἔχθρας μεσότοιχον καὶ εἰρήνην βραβεύσαντι καὶ δωρησαμένῳ τῷ γένει τῶν ἀνθρώπων· αὐτὸς καὶ νῦν εἰρήνην τοῖσδε τοῖς δούλοις σου χάρισαι· ρίζωσον ἐν αὐτοῖς τὸν φόβον σου καὶ τὴν πρὸς ἀλλήλους ἀγάπην βεβαίωσον, κατάσβεσον πᾶσαν ἔχθραν καὶ ἐρίθειαν, περίελε πάντα τὰ τῆς διχοστασίας σκάνδαλα. Ὅτι σὺ εἶ ἡ εἰρήνη ἡμῶν καὶ καταφυγὴ καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ